# 02 IANUARIE

# PARACLISUL SF.CUVIOS NIL DE LA GHIROMERION

02 IANUARIE


Ο ΟΣΙΟΣ
ΝΕΙΛΟΣ
Ο ΓΗΡΟ-
ΜΕΡΙΤΗΣ

# 02 ΙΑΝΟΥΑΡΙΟΣ ΝΕΙΛΟΣ ΟΣΙΟΣ ΓΗΡΟΜΕΡΙΤΗΣ ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἀγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

## *Ψαλμός ρμβ᾽ (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τό τῶν πατέρων ἱερώτατον κλέος καί μοναστῶν καθηγητήν καί προστάτην, τόν ἐν ὁσίοις μέγιστον καί θεῖον ἀσκητήν, Νεῖλον εὐφημήσωμεν καί βοήσωμεν πίστει, φύλαττε τούς πόθῳ σε ἐκ καρδίας τιμῶντας, καί ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἐπηρειῶν τε πασῶν τοῦ ἀλάστορος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Πρόσδεξαι δέησιν σῶν δούλων, θεῖε Νεῖλε*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Πρός σέ καταφεύγω ο δυσμενής, καί τήν σήν αἰτοῦμαι προστασίαν καί τῶν δεινῶν κόπασον τόν

τάραχον, ὦ Νεῖλε, καὶ τὴν εἰρήνην παράσχου τοῖς δούλοις σου.

Ῥεόντων τόν φόρτον καὶ γεηρῶν ἀπέφυγες, πάτερ, καὶ ἀπήλαυσας τῶν τερπνῶν τοῦ πνεύματος θείων χαρισμάτων, δι᾽ ὧν τούς δούλους σου φύλαττε πάντοτε.

Ὁ κτίτωρ καὶ φύλαξ τῆς σῆς Μονῆς καὶ καύχημα, Νεῖλε, σύ ὑπάρχεις ὡς ἀληθῶς, διό σκέπε ταύτην ἐκ παντοίων πειρατηρίων δεινῶν τε καὶ θλίψεων.

*Θεοτοκίον.*

Σωμάτων τήν ῥῶσιν καὶ τῶν ψυχῶν καὶ τῶν ἰαμάτων ἀφθονώτατον χορηγόν ἀπέτεκες, Κόρη Παναγία, ἡ προστασία ἡμῶν τῶν ὑμνούντων σε.

## *Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Δέξαι, Νεῖλε θεόφρον, σῶν ἱκετῶν δέησιν, καὶ τῶν διαβόλου παγίδων ἡμᾶς διάσωζε, καὶ φρούρει πάντοτε ἀπό παθῶν τε καὶ νόσων καὶ ποικίλων θλίψεων τούς προσιόντας σοι.

Ἐλευθέρωσον, πάτερ θαυματουργέ ὅσιε, πάντας τούς ἐν θέρμῃ καὶπίστει προσκαλουμένους σε, τοῦ πολεμήτορος δεινῆς μανίας καὶ ζάλης, καὶ αὐτούς ἐνίσχυσον τῇ θείᾳ χάριτι.

Ξενητείαν καὶ πᾶσαν ἀσκητικήν ὥδευσας τρίβον, καὶ διῆλθες τοῦ κόσμου, Νεῖλε τρισόλβιε, ἐν κακουχίᾳ πολλῇ πλείστας Μονάς καὶ ἐσχάτως ἐν ᾿Ηπείρῳ ἔφθασας, ἣν διαφύλαττε.

*Θεοτοκίον.*

Ἁμαρτῖαι παντοῖαι καί λογισμοί πάντοθεν σώματα μολύνουσι Κόρη καί τήν διάνοιαν, ἀχρείων δούλων σου, Παρθένε Μῆτερ Κυρίου, ἀλλά σύ προφθάσασα, τούτων ἀπάλλαξον.

Διάσωσον, ἀπό κινδύνων καί θλίψεων, πάτερ Νεῖλε, τούς ἐν πίστει καί πόθῳ σέ μεγαλύνοντας καί λύτρωσαι νόσων καί πάσης βλάβης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Προστάτης θερμός καί σκέπη καί κραταίωμα, ὑπάρχεις πιστῶν ἁπάντων καί βοήθεια, πρεσβεύεις γάρ Ὅσιε ἀεννάως πρός τόν Κύριον, τοῦ δωρηθῆναι ἡμῖν ἱλασμόν καί τῶν παραπτωμάτων τήν διόρθωσιν.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἱκετεύων μή παύσῃ τοῦ συγχωρηθῆναι ἡμῖν τά πταίσματα, καί δοθῆναι πᾶσιν ἄφεσιν τοῖς τό σόν ὑμνοῦσι μέγα ὄνομα.

Δυναστείας ἁπάσης τοῦ μισανθρώπου δολίου ὄφεως, καί παντοίας ἐπηρείας τε βλάβης καί δεινῶν μέ ἐλευθέρωσον.

Ἐνδυνάμωσον, Ὅσιε Νεῖλε πάτερ, πάντας τούς δεομένους σου καί παράσχου τῇ πρεσβείᾳ σου, θεῖον φωτισμόν καί μέγα ἔλεος.

*Θεοτοκίον.*

Ἡ οὐράνιος πύλη καί τοῦ βασιλέως θρόνος ὁ πάγχρυσος, σύ ὑπάρχεις Παναμώμητε, ὅθεν τήν εἰρήνην ἡμῖν δώρησαι.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Στύλος ἀρραγής τῶν δογμάτων καί τῆς πίστεως ἀνεδείχθης, πάτερ Νεῖλε θαυμαστέ, διό ἐν ταύτη ἡμᾶς πάντοτε στερέωσον.

Ἵλαθι ἡμῖν, καθ΄ ἑκάστην ἁμαρτάνουσι καί ἱκέτευε τόν μόνον ἀγαθόν, πλημελημάτων δωρηθῆναι τήν συγχώρησιν.

Νόσων ἀλγεινῶν καί παθῶν καί περιστάσεων καί κινδύνων μέ ἀπάλλαξον ταχύ, καί τήν εἰρήνην παράσχου ταῖς ἱκεσίαις σου.

*Θεοτοκίον.*

Σῶσον μέ, ΄Αγνή Θεοτόκε ΄Αειπάρθενε, ἡ τεκοῦσα τόν Σωτήρα τοῦ παντός, ἔχεις γάρ ἄνωθεν τό θέλειν καί τό δύνασθαι.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ὡράϊσμα ἀσκητῶν καί στήριγμα μοναζόντων, σύ ὑπάρχεις, παμμάκαρ, ὁ σός γάρ βίος ἐγένετο τύπος καί φωτεινότατον ὄντως ὑπόδειγμα τοῖς ἐκ ψυχῆς διακαῶς σωτηρίαν ποθοῦσι καί ἔλεος.

Νεότητος κατεφρόνησας, Νεῖλε, ἀπολαύσεων καί πλούτου καί δόξης καί τήν πτωχείαν ἠγάπησας, πάτερ, καί τόν σταυρόν σου ἐπ᾽ ὤμων ἀράμενος, διό βοήθει μοι, σοφέ, πορευθῆναι ὁδόν τήν ἐνάρετον.

Διάνοιξον, τούς ὀφθαλμούς τῆς ψυχῆς μου, θεοφόρε πάτερ Νεῖλε, καί δός μοι πηγάς δακρύων, τοῦ κλαῦσαι πταισμάτων, ὑπέρ ἐν βίῳ ὁ τάλας ὧν ἔπραξα, καί αἴτησαι τόν ἱλασμόν τῷ σῷ δούλῳ δωρήσασθαι πάντοτε.

*Θεοτοκίον.*

Ὁδήγησον, Θεοτόκε Δέσποινα, πρός ὁδόν με σωτηρίας καί ῥῦσαι τῆς τοῦ ἐχθροῦ δεσποτείας τόν νοῦν μου, καί είς χαράν τήν πικρίαν μετάβαλε, ὑπάρχεις γάρ καταφυγή καί βοήθεια πάντων Θεόνυμφε.

Διάσωσον, ἀπό κινδύνων καί θλίψεων, πάτερ Νεῖλε, τούς ἐν πίστει καί πόθῳ σέ μεγαλύνοντας καί λύτρωσαι νόσων καί πάσης βλάβης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Προστασία τῶν προσφευγόντων σοι, Ὅσιε, καί στεῤῥά ὑπάρχεις σκέπη καί ἀντίληψις, πρόσδεξαι οὔν τά πρός σωτηρίαν αἰτήματα ἡμῶν καί

διαφύλαξον πάντας ἡμᾶς ἀπό ποικίλλων πειρασμῶν καί παθῶν τε καί θλίψεων· πρόφθασον ἐν ἀνάγκαις, καί ῥῦσαι παντός κινδύνου, Νεῖλε ἡμῶν ἡ χαρμονή, καί βεβαία ἀντίληψις.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ*

Στ.: *Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον*

*Εὐαγγέλιον.*

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Νεῖλε παμμακάριστε, τῶν μοναστῶν ὡραιότης, καί ὁ τῆς ἀσκήσεως στύλος ἀδιάσειστος καί ἑδραίωμα· τῶν πιστῶν στήριγμα, Ἐκκλησίας δόξα, κακοφρόνων ἡ καθαίρεσις, σοφός διδάσκαλος καί δογμάτων πίστεως πρόμαχος· καί πάντων τῶν τιμώντων σε, φύλαξ καί ἀσφάλεια γέγονας, ὅθεν σοί βοῶμεν, δυσώπει τόν Χριστόν ὑπέρ ἡμῶν τῶν εὐλαβῶς προσκυνούντων σου τό σεπτόν εἰκόνισμα.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὑπέρ ἄνθρωπον ὄντως, ὁ σός βίος, θεόφρον Νεῖλε μακάριε, κανών ὁμοῦ καί τύπος, ὑπάρχει τοῖς ποθοῦσι θεαρέστως πορεύεσθαι, ὅθεν παράσχου κἀμοί σωτήριον πορείαν.

Λυτρωτήν ἐν κινδύνοις καί προστάτην σέ πάντες πάτερ, κεκτήμεθα, προφθάνεις γάρ καί σώζεις ἐκ πάσης ἐπηρ͂ρείας τούς είς σέ καταφεύγοντας καί ἐκβοῶντας θερμῶς· Θεός εὐλογητός εἶ.

Ὢ τῆς θείας προνοίας, δι᾽ ἧς ὤφθη σοι, Νεῖλε, φῶς τό οὐράνιον, ἀνήγειρας δέ οὕτω Μονήν σου τήν ἁγίαν, ἥν καί νῦν διαφύλαττε καί διατήρει ἀεί ἀλώβητον κινδύνων.

*Θεοτοκίον.*

Νικητάς ἡμᾶς πάντας, είς ἀγῶνα τόν θεῖον τῆς τελειώσεως, ἀνάδειξον, Παρθένε καί θύραν τοῦ ἐλέους τοῦ Υἱοῦ σου ὑπάνοιξον, ἵνα βοῶμεν ἀεί· Εὐλογημένη Χαῖρε.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Θεολογίας τῆς ἀληθοῦς ὑποφήτης, ἀνεδείχθης ἀληθῶς, Νεῖλε πάτερ, ὅθεν ἡμῖν δίδου λαλεῖν ὁσίους λόγους.

Ἐν τοῖς ἀγῶσιν, ὑπέρ τῆς δόξης Κυρίου, βιοτήν τήν σήν ἐμπόνως διῆλθες, χάρισαι οὖν μάκαρ, ἀγῶνα μετανοίας.

Ἴλαθι, πάτερ, ἡμῖν τοῖς πάντοθεν νόσων καί ποικίλλων πειρασμῶν βαλλομένοις καί μανίας τούτων ἀπάλλαξον καί ζάλης.

*Θεοτοκίον.*

Ἐπαγγελίας καρπός ὑπάρχεις, Παρθένε καί ἐκπλήρωσις προφητικῶν λογίων, ἄκουσον οὖν Κόρη, ἱκέσιον φωνήν μου.

### *Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Νεάζων κἄν ἐν γήρει, προθύμως ὑπακούσας καί ᾠκοδόμησας Νεῖλε, σεμνεῖον τό σόν, ἐν ᾧ προσφεύγουσιν πάντες καί σέ γεραίρουσι.

Εἰκόνα σου τήν θεῖαν πίστει προσκυνοῦμεν καί τῷ σῷ μνήματι πάντες προσπίπτομεν καί τῆς σῆς θείας πρεσβείας, Νεῖλε δεόμεθα.

Ἵλεως φάνηθί μοι, Νεῖλε θεοφόρε καί τῆς δεήσεως ταύτης ἐπάκουσον καί γάρ μου σκέπη ὑπάρχεις καί καταφύγιον.

Λαμπρῶς ἀνακηρύττω καί ὁμολογῶ σου τήν κραταιάν προστασίαν καί τήν πολλήν ἥν πρός Θεόν παῤῥησίαν ἔχεις θεσπέσιε.

### *Θεοτοκίον.*

Ἐλέους ἡ τεκοῦσα ἄβυσσον Παρθένε, μή διαλίπης πρεσβεύειν Χριστῷ ἐκτενῶς, ὑπέρ ἡμῶν τῶν ὑμνούντων τά μεγαλεία σου.

### *Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις Βυζαντίου γόνος λαμπρός καί Γηρομερίου, τῆς Μονῆς σου θεῖος φρουρός,

χαίροις μοναζόντων ὑπογραμμός καί τύπος, Πατέρων μέγα κλέος, Νεῖλε τρισόλβιε.

Χαίροις ὀρθοδόξων προασπιστής καί τῶν κακοδόξων, Νεῖλε ὅσιε, ἐλεγκτής, χαίροις ᾿Εκκλησίας ὡράϊσμα καί δόξα, καί ἀσκητῶν ἀκρότης, πάτερ θεόσοφε.

Χαίρει Θεσπρωτία πνευματικῶς καί ῎Ηπειρος πᾶσα κεκτημένη ὡς θησαυρόν, χαίρει ἐξαιρέτως ἡ εὐαγής Μονή σου, κατέχουσα ἐν κόλποις, Νεῖλε, σόν σκήνωμα.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, θεοφόρον Νεῖλον, τόν δοξάσαντα τόν Χριστόν καί ἀναδειχθέντα δι᾿ ἀρετῆς ἐνθέου, ἡμῶν παραμυθία καί καταφύγιον.

Νεῖλε, τῶν ἁγίων ὁ μιμητής καί τῆς ἰσαγγέλου πολιτείας καθηγητής, πρέσβευε δοθῆναι τοῖς πόθῳ σέ τιμῶσι παρά Κυρίου χάρις καί μέγα ἔλεος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τήν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντων δεομένων βοηθός καί τῶν ἐν ἀνάγκαις προστάτης καί ἀσθενῶν ἰατρός, σύ ὑπάρχεις ὅσιε, καί τῶν πενήτων τροφεύς, τούς ἐν πίστει καί πόθῳ σέ καλούντας προφθάνεις καί παρέχεις ἄφθονον τήν μεσιτείαν σου· ὅθεν καί ἡμᾶς τούς αἰτοῦντας, πάτερ Νεῖλε, φύλαξον πάντας ἀπό πειρασμῶν καί περιστάσεων.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου είς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*